# 48

## *ΠΕΡΙ ΤΗΣ ΑΣΤΡΟΛΟΓΙΗΣ*

1 *Ἀμφί τε οὐρανοῦ ἀμφί τε ἀστέρων ἡ γραφή, οὐκ αὐτῶν ἀστέ-
ρων οὐδ' αὐτοῦ πέρι οὐρανοῦ, ἀλλὰ μαντείης καὶ ἀληθείης, ἣ δὴ
ἐκ τουτέων ἐς ἀνθρώπων βίον ἔρχεται. ὁ δέ μοι λόγος οὐκ ὑπο-
θημοσύνην ἔχει οὐδὲ διδασκαλίην ἐπαγγέλλεται ὅκως ταύτην
τὴν μαντοσύνην διενεκτέον, ἀλλὰ μέμφομαι ὁκόσοι σοφοὶ ἐόντες
τὰ μὲν ἄλλα ἐπασκέουσι καὶ πᾶσι τοῖς ἑωυτῶν ἀπηγέονται, μού-*
2 *νην δὲ ἀστρολογίην οὔτε τιμέουσιν οὔτε ἐπασκέουσιν. καὶ ἡ μὲν
σοφίη παλαιὴ οὐδὲ νέον ἐς ἡμέας ἀφίκετο, ἀλλ' ἔστιν ἔργον
ἀρχαίων βασιλέων θεοφιλέων. οἱ δὲ νῦν ἀμαθίῃ καὶ ῥαθυμίῃ καὶ
προσέτι μισοπονίῃ κείνοισί τε ἀντίξοα φρονέουσι καὶ εὖτ' ἂν
ἀνδράσιν ἐπικυρέωσιν ψεύδεα μαντευομένοισι, ἄστρων τε κατη-
γοροῦσιν καὶ αὐτὴν ἀστρολογίην μισέουσιν, οὐδέ μιν οὔτε ὑγιέα
οὔτε ἀληθέα νομίζουσιν, ἀλλὰ λόγον ψευδέα καὶ ἀνεμώλιον, οὐ
δικαίως, ἐμοὶ δοκέει, φρονέοντες· οὐδὲ γὰρ τέκτονος ἀϊδρείη
τεκτοσύνης αὐτῆς ἀδικίη οὐδὲ αὐλητέω ἀμουσίη μουσικῆς ἀσο-
φίη, ἀλλ' οἱ μὲν ἀμαθέες τῶν τεχνῶν, ἑκάστη δ' ἐν ἑωυτῇ
σοφή.*